pullariam vocet, Morsimū, puta, vel Melanthium, quos vt cinædos paulò post tangit, nam muribus A strangulandis conuenit τὸ μόρσιμον.

Αντῳδὴ, καὶ ἀντιστροφὴ κώλων κβ.

Τοιάδε χρὴ Χαρίτων
δαμώματα καλλικόμων
Τὸν σοφὸν ποιητὴν
Ὑμνεῖν, ὅταν ἠρινὰ μὲν
Φωνῇ χελιδὼν
Ἑζομένη κελαδῇ.
Χορὸν δὲ μὴ 'χῃ Μόρσιμος,
Μηδὲ Μελάνθιος, οὗ δὴ
Πικροτάτην ὄπα γηρύ-
σαντος ἤκου-
σ', ἡνίκα τῶν τραγῳδῶν
Τὸν χορὸν εἶχον, ἀδελ-
φός τε καὶ αὐτὸς ἄμφω,
Γοργόνες, ὀψοφάγοι,
Βατιδοσκόποι, ἅρπυιαι,
Γραοσόβαι, μιαροὶ,
Τραγομάσχαλοι,
Ἰχθυολῦμαι,
Ὧν καταχρεμψαμένη
Μέγα καὶ πλατὺ
Μοῦσα θεὰ, μετ' ἐμοῦ
Ξύμπαιζε τὴν ἑορτήν.

*Ista decet Charitum*
B *Volgaria pulcricoma-*
*rum catum poëtam*
*Laudare, cum amica veris*
*Questus hirundo*
*Lene sedens iterat,*
*Chorúsque desit Morsimo*
*Atque Melanthio, acerbam*
*Cuius ego ante loquentis*
*Audiÿ vo-*
*cem, tragicum Tragœdi*
C *Quando habuere chorum*
*Frater & hic, vterque*
*Gorgoniÿ gumiæ,*
*Batidispices, Harpyæ,*
*Qui vetulas subigunt*
*Et olent caprum,*
*Piscibus hostes,*
*Quos vbi despueris*
D *Numerò, ampliter*
*Mecum age Musa Dea*
*Festiuitate gaude.*

Σχόλια. Τοιάδε Χαρίτων.] τῇ στροφῇ ἀποδέδωκε τὴν ἀντίστροφον. πάλιν γὰρ ἐπὶ τὸν οἰκεῖον ἐπανέδραμεν ἔπαινον, φάσκων ὅτι δεῖ ταῦτα πάντα χρὴ τοὺς θεατὰς μετὰ πάσης εὐνοίας ἀποδέχεσθαι τὰ ὑπ' αὐτοῦ ποιήματα. εἴδομεν οὖν τὴν στροφὴν τί ἐστι, καὶ πῶς τὴν ἀντιστροφὴν ἐπήγαγε. κἀν ταῖς Νεφέλαις δὲ εἴπον, ὅτι δεῖ πάντως ἀνταποδίδοσθαι τῇ στροφῇ τὴν ἀντίστροφον. εἶτα ἀμφοτέραις ἐπαγαγεῖν τὸ ἐπῳδόν. ἐκ τούτων γὰρ τὰ χορικὰ συνίστανται. στροφῆς. ἀντιστρόφου. ἐπῳδοῦ. ἀντίστροφος δὲ εἴρηται διὰ τὸ ἀναστρέφειν ἐπὶ τὸν ἐξ ἀρχῆς νοῦν τῶν λόγων μεταξὺ λεγομένων τῶν ᾀσμάτων, καὶ ὥσπερ ἐντεθειμένων καὶ δυναμένων ὑπεξαιρεῖσθαι, οὐδὲν ἧττον τῆς ἀκολουθίας σωζομένης. ἔχει δὲ οὕτως. ἀνδρῶν τ' ἐς θιάσας καὶ θαλίας μακάρων. τὸ γὰρ τοιάδε ἐξ ἀρχῆς μέλει. εἶτα, τοιάδε χρὴ Χαρίτων. διὰ μέσου δὲ τὰ περὶ τῶν Καρκίνου παίδων. ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ορεστείας. τοιάδε χρὴ χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν, φρύγιον μέλος ἐξευρόντα ἁβρῶς ἦρος ἐπερχομένου. δαμώματα δὲ, τὰ δημοσίᾳ ᾀδόμενα. Οταν ἠρινά.] καὶ αὕτη πλοκὴ Στησιχόρειος. φησὶ γὰρ οὕτως. ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. Μόρσιμος μὴ δὲ Μελάνθιος.] τραγικοὶ ποιηταὶ ἀμφότεροι. ὁ δὲ Μόρσιμος Φιλοκλέους τοῦ τραγικοῦ υἱὸς, πονηρὸς καὶ ἄμετρος. ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις, ὡς κίναιδον αὐτὸν διαβάλλει καὶ κόλακα. ἀλλὰ καὶ ὡς λευκὰς ἔχοντα καὶ λέπρας Ἀριστοφάνης ἐν Ὄρνισιν. ὡς ἐκ ἰδὼν βδελύττομαι τὸν λέπριον ἀπὸ Μελανθίου. Ἀδελφός τε καὶ αὐτός.] ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ὄντος ἀσήμου. εἰς τὸ αὐτό. δέχονταί τινες ὡς καὶ τοῦ ἀδελφοῦ τοῦ Μελανθίου τραγικοῦ ποιητοῦ ὄντος. ἀσήμου δέ. ἐκ ἀνάγκη δὲ διαιρεῖν ἐν ποιεῖν, πρὸς τὸ, τὸν χορὸν ἔχειν τὸ, ἀδελφός τε καὶ αὐτός. ἀλλὰ τὰ μὲν πρῶτα, ἰδίᾳ περὶ τοῦ Μελανθίου μέχρι τοῦ χορόν. ἐντεῦθεν ἀπ' ἄλλης δὲ ἀρχῆς περὶ τε αὐτοῦ καὶ τοῦ ἀδελφοῦ, τὰ εἰς ὀψοφαγίαν. ὅτι δὲ ὁ Μελάνθιος ὀψοφάγος. προείρηται δὲ παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις. Ἄμφω.] σιωπητέον εἰς τὸ ἄμφω. ὅτι τραγικοὶ ἀμφότεροι, Μελάνθιος καὶ ὁ τούτου ἀδελφὸς, δῆλον. τὸ δὲ Γοργόνες καὶ ὀψοφάγοι, ἐπὶ Μελανθίου μόνον. τοῦτον γὰρ ὡς διαβάλλεται. τινὲς δὲ εἰς τὸ εἶχον στίζουσιν, ἵνα Μελάνθιος μὲν ἔχῃ τὸν χορὸν, ἀμφότεροι δὲ ὦσιν ὀψοφάγοι.

E

CHRIST. τοιάδε χρὴ] Hoc est principiū Antistrophæ, & sex priores versus sunt item πλοκὴ στησιχόρειος ex eadem Orestea, iisdem ferè verbis. Sic enim Stesichorus (quem σοφὸν ποιητὴν videtur vocare) τοιάδε χρὴ χαρίτων δαμώματα καλλικόμων ὑμνεῖν φρύγιον μέλος ἐξευρόντα ἁβρῶς ἦρος ἐπερχομένου. Deinde ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών. Ηρινὰ μὲν φωνῇ] Quid si μεμφομένη? Sanè sic mallem vt F querulos cantus innuat. Μόρσιμος μηδὲ Μελάνθιος] De Morsimo Tragico poëta inepto & frigido, sed oculorum non malo, vt ferunt, medico, Philoclis Tragici (qui post Sophoclis Tereum Πανδιονίδα scripsit) filio, & patre Amphidamantis supra in Ranis & Equitibus meminit. De Melanthio item tragico gulone, cinædo & leproso, in Auibus. Vtrumque diris imprecationibus semper immiscet. Nam in Ranis, post furta, stupra, cædes, parricidia subiicit de Morsimo, ἢ μορσίμου τις ῥῆσιν ἐξεγράψατο. In Equitibus, si fallat, impreca-G tur sibi hoc modo, καὶ διδασκοίμην προσᾴδειν μορσίμου τραγῳδίαν, tanquam hic Morsimus sit in fabula, præcipuéque in choro, μοχθηρὸς καὶ θανατηφόρος. In Auibus autem dixit βδελύττομαι τὸν λέπριον